Ακαδημία Αθηνών / Academy of Athens

*διαφέρονται.* || Ἡράκλειτος 45 *ψυχῆς πείρατα ἰὼν οὐκ ἂν ἐξεύροιο, πᾶσαν ἐπιπορευόμενος ὁδόν· οὕτω βαθὺν λόγον ἔχει* 115 *ψυχῆς ἐστι λόγος ἑαυτὸν αὔξων* Δημόκριτος 53 *πολλοὶ λόγον μὴ μαθόντες ζῶσι κατὰ λόγον* 146 *τὸν λόγον... αὐτὸν ἐξ ἑαυτοῦ τὰς τέρψιας ἐθιζόμενον λαμβάνειν* **4.** Μέτρο/ἀναλογία, measure/proportion, Ἡράκλειτος 31 *⟨γῆ⟩ θάλασσα διαχέεται, καὶ μετρέεται εἰς τὸν αὐτὸν λόγον, ὁκοῖος πρόσθεν ἦν ἢ γενέσθαι γῆ* Φιλόλαος 11.14 *νῦν δὲ οὗτος (*sc. *ὁ ἀριθμός) καττὰν ψυχὰν ἁρμόζων ... καὶ σχίζων τοὺς λόγους χωρὶς ἑκάστους τῶν πραγμάτων τῶν τε ἀπείρων καὶ τῶν περαινόντων* Ἀρχύτας 2.4 *ἀριθμητικὰ μέν, ὅκκα ἔωντι τρεῖς ὅροι κατὰ τὰν τοίαν ὑπεροχὰν ἀνὰ λόγον· ᾧ πρᾶτος δευτέρου ὑπερέχει, τούτῳ δεύτερος τρίτου ὑπερέχει* **5.** Λόγος/φήμη, report/fame, Ἡράκλειτος 39 *ἐν Πριήνῃ Βίας ἐγένετο ὁ Τευτάμεω, οὗ πλείων λόγος ἢ τῶν ἄλλων* **6.** Λόγος/κριτικὴ δύναμη, reason/critical ability, Παρμενίδης 7.5 *κρῖναι δὲ λόγῳ πολύδηριν ἔλεγχον ἐξ ἐμέθεν ῥηθέντα* Ἀναξαγόρας 7 *ὥστε τῶν ἀποκρινομένων μὴ εἰδέναι τὸ πλῆθος μήτε λόγῳ μήτε ἔργῳ* **7.** Λόγος/ἐπιχειρηματολογία, discourse/argumentation, Ἡράκλειτος 108 *ὁκόσων λόγους ἤκουσα, οὐδεὶς ἀφικνεῖται ἐς τοῦτο, ὥστε γινώσκειν ὅτι σοφόν ἐστι πάντων κεχωρισμένον* Ζήνων 1.4 *καὶ περὶ τοῦ προύχοντος ὁ αὐτὸς λόγος* Μέλισσος 7(6) *καὶ περὶ τοῦ ἀνιᾶσθαι ὠυτὸς λόγος τῷ ἀλγέοντι* Δημόκριτος 51 *ἰσχυρότερος ἐς πειθὼ λόγος πολλαχῇ γίνεται χρυσοῦ* **8.** Λόγος/λογισμός, reason/reasoning, Φιλόλαος 16 *εἶναί τινας λόγους κρείττους ἡμῶν* **9.** Λόγος/αἰτία, ground/cause, Λεύκιππος 2 *οὐδὲν χρῆμα μάτην γίνεται, ἀλλὰ πάντα ἐκ λόγου τε καὶ ὑπ' ἀνάγκης.*

**λοχάζεσθαι.** Καλύπτομαι/κρύπτομαι, be covered/be concealed, Ἐμπεδοκλῆς 84.8 *ὣς δὲ τότ' ἐν μήνιγξιν ἐεργμένον ὠγύγιον πῦρ λεπτῇσιν ⟨τ'⟩ ὀθόνῃσι λοχάζετο κύκλοπα κούρην, ⟨αἳ⟩ χοάνῃσι δίαντα τετρήατο θεσπεσίῃσιν.*

**λυγρός** (συνών. *χαλεπός*). Ἄθλιος/θλιβερός, wretched/painful Ἐμπεδοκλῆς 22.8 *ἐχθρὰ ⟨δ' ἃ⟩ πλεῖστον ἀπ' ἀλλήλων διέχουσι μάλιστα γέννῃ τε κρήσει τε καὶ εἴδεσιν ἐκμάκτοισι, πάντῃ συγ-*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

*γίνεσθαι ἀήθεα καὶ μάλα λ υ γ ρ ά.* Πρβλ. *ἐχθρός, ὀλέθριος, δείλαιος.*

**λύεσθαι** (τύπ. *λύθεν*, ἀντίθ. *πήγνυσθαι*). Διαλύομαι, be dissolved/be decomposed, Ἐμπεδοκλῆς 15.4 *πρὶν δὲ πάγεν τε βροτοὶ καὶ ⟨ἐπεὶ⟩ λ ύ θ ε ν.*

**λυμαίνεσθαι 1.** Βλάπτομαι/ζημιώνομαι, be harmed/suffer a loss, Δημόκριτος 177 *οὔτε λόγος ἐσθλὸς φαύλην πρῆξιν ἀμαυρίσκει οὔτε πρῆξις ἀγαθὴ λόγου βλασφημίῃ λ υ μ α ί ν ε τ α ι* **2.** Βλάπτω/ζημιώνω, harm/cause damage, Δημόκριτος 245 *οὐκ ἂν ἐκώλυον οἱ νόμοι ζῆν ἕκαστον κατ' ἰδίην ἐξουσίην, εἰ μὴ ἕτερος ἕτερον ἐ λ υ μ α ί ν ε τ ο.*

**λυπεῖν** (συνών. *ἀνιᾶν, ἀλγύνειν*). Προκαλῶ πόνο/προξενῶ λύπη, bring on pain/cause sorrow, Διογένης 6.38 *καὶ φαίνονται παρά τε τὴν σπληνῖτιν καὶ τὴν ἡπατῖτιν ἕτεραι ὀλίγον ἐλάττους, ἃς ἀποσχῶσιν ὅταν τι ὑπὸ τὸ δέρμα λ υ π ῇ* Δημόκριτος 88 *ὁ φθονέων ἑωυτὸν ὡς ἐχθρὸν λ υ π έ ε ι.* || **λυπεῖσθαι** (συνών. *ἀλγεῖν*, ἀντίθ. *ἥδεσθαι, χαίρειν*). Θλίβομαι/στενοχωροῦμαι, grieve/be distressed, Δημόκριτος 231 *εὐγνώμων ὁ μὴ λ υ π ε ό μ ε ν ο ς ἐφ' οἷσιν οὐκ ἔχει, ἀλλὰ χαίρων ἐφ' οἷσιν ἔχει.*

**λύπη.** Λύπη/θλίψη, sorrow/grief, Δημόκριτος 235.5 *τοῖσι πᾶσιν αἱ μὲν ἡδοναὶ βραχεῖαί τε καὶ δι' ὀλίγου γίνονται ... αἱ δὲ λ ῦ π α ι πολλαὶ* 290 *λ ύ π η ν ἀδέσποτον ψυχῆς ναρκώσης λογισμῷ ἔκκρουε.* || Δημόκριτος 276 *ἐνορῶ γὰρ ἐν παίδων κτήσει πολλοὺς μὲν καὶ μεγάλους κινδύνους, πολλὰς δὲ λ ύ π α ς, ὀλίγα δὲ τὰ εὐθηλέοντα καὶ ταῦτα λεπτά τε καὶ ἀσθενέα.* Πρβλ. *ἀδημοσύνη, ἀτερπίη.*

**λύρα.** Λύρα, lyre, Ἡράκλειτος 51 *παλίντροπος ἁρμονίη ὅκωσπερ τόξου καὶ λ ύ ρ η ς* Πυθαγόρειοι C 2 (DK I 463,2) *Μουσῶν λ ύ ρ α ν.*

**λωφᾶν.** Ἀνακουφίζω, relieve/soothe, Ἐμπεδοκλῆς 145.2 *τοιγάρτοι χαλεπῇσιν ἀλύοντες κακότησιν οὔποτε δειλαίων ἀχέων λ ω φ ή σ ε τ ε θυμόν.*

Ακαδημία Αθηνών / Academy of Athens

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ